# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

# ΟΔΙΛΙΑΣ

## ΤΗΣ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

## ΗΓΟΥΜΕΝΗΣ ΤΗΣ ΧΟΧΕΝΒΟΥΡΓΗΣ

**Ἐποιήθη ἐν Ἑλλάδι ἐν ἔτει σωτηρίῳ β͵ε΄**

**ὑπὸ Ἀναγνώστου Παναγιώτου Σόμαλη,**

**Πρωτοψάλτου Ἱ. Ναοῦ Ἁγ. Ἰωάννου Χρυσοστόμου Νικαίας,**

**καὶ ἀφιεροῦται ὡς δέησις τῇ Ὁσίᾳ**

**ὑπὲρ ἰάσεως τῶν ὀφθαλμῶν**

**τοῦ ἐν Κυρίῳ ἀγαπητοῦ ἀδελφοῦ Ἰσαὰκ Lambertsen.**



**ΘΑΥΜΑΣΤΟΣ Ο ΘΕΟΣ ΕΝ ΤΟΙΣ ΑΓΙΟΙΣ ΑΥΤΟΥ**

Μηνὶ Δεκεμβρίῳ ιγ´
Μνήμην ἐπιτελοῦμεν τῆς Ὁσίας Μητρὸς ἡμῶν Ὀδιλίας,
ἡγουμένης τῆς Χοχενβούργης, τῆς θαυματουργοῦ.

## ΕΙΔΗΣΙΣ

Ἐὰν ἡ μνήμη τῆς Ὁσίας τύχῃ ἐν Κυριακῇ, ἡ ἀκολουθία συμψάλλεται τῇ τε ἀναστασίμῳ καὶ τῇ ἀκολουθίᾳ τῶν Ἁγίων Προπατόρων, κατὰ τὴν τάξιν τῆς ιβ´ Δεκεμβρίου. Ἡ δὲ ἀκολουθία τοῦ Ἁγ. Εὐστρατίου καὶ τῶν σὺν αὐτῷ μαρτύρων ψάλλεται ἐν τοῖς Ἀποδείπνοις ἢ ὅταν βούληται ὁ προεστώς. Ἔνθα δὲ πανηγυρίζεται ὁ Ἅγιος Εὐστράτιος ἢ ἡ Ἁγία Λουκία, ἡ ἀκολουθία τῆς Ὁσίας μετατιθεμένη ψάλλεται τῇ ιδ´ τοῦ μηνὸς ἢ ὅταν βούληται ὁ προεστώς.

# ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια τῆς Ὁσίας.

Ἦχος β´. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε στειρεούσης ἐκ γαστρὸς
θείᾳ εὐδοκίᾳ ἐτέχθης
ὁ σὸς γεννήτωρ τυφλὴν
βλέπων σε τεθύμωται
καὶ κτείνειν ἤθελε·
ἡ δὲ πάντιμος μήτηρ σου
τροφῷ σε ἐκδοῦσα,
Ὀδιλία, ῥύῃ σε
τῆς τοῦ πατρός σου ὀργῆς·
ὅθεν ἐν μονῇ τοῦ Βαλσάμου
ᾤκησας, σεμνή, παιδιόθεν
βίῳ ἐναρέτῳ διαλάμπουσα.

Ὅτε Ῥατισβόνης ὁ ποιμὴν
ἔλαβε Ἐρχάρδος κατ᾽ ὄναρ
τὴν περὶ σοῦ ἐντολὴν

χαίρων σε ἐζήτησεν
καὶ σὲ βαπτίσας τοὺς σοὺς
ὀφθαλμοὺς μύρῳ ἔχρισε
εὐθύς δέ, ὢ θαῦμα,
οὗτοι ἠνεῴχθησαν
πάντων εἰς ἔκπληξιν·
τούτῳ γὰρ Χριστὸς τῷ σημείῳ
ἔδειξε τοῖς πᾶσιν, Ὁσία,
ὅτι νύμφην σε ἐνδόξως εἵλετο.

Ὅτε ἡδονὰς βιοτικὰς
πλοῦτον τε μισοῦσα, θεόφρον,
τὸν κόσμον ἔλιπες
μνήστορα ἐπίγειον
μηδένα στέργουσα
Χοχενβούργης τὴν ἔπαλξιν
μονὴν εἰς ἁγίαν
ψυχῶν φροντιστήριον,
Μῆτερ, ἐποίησας·
ἔνθα, Ὀδιλία, παρθένων
πλῆθος εὐγενῶν συνελθοῦσαι
σοῦ τὴν πολιτείαν ἐμιμήσαντο.

Ὤφθης τῶν πενήτων βοηθὸς
καὶ τῶν ἀσθενῶν προστασία
καὶ θλιβομένων χαρά,
ξένων τε παράκλησις,
Μοναζουσῶν καλλονή,
τῶν Ἀγγέλων συνόμιλος
καὶ ἄφθονον χάριν
ἰαμάτων ἔλαβες
παρὰ Χριστοῦ τοῦ Θεοῦ·
ὅνπερ, Ὀδιλία, δυσώπει
ὀφθαλμῶν ψυχῶν καὶ σωμάτων
δοῦναι τὴν ὑγείαν τοῖς τιμῶσί σε.

Δόξα. Ἦχος ὁ αὐτός.

Δεῦτε ἀναβῶμεν εἰς τὸ ἅγιον ὄρος
τὸ ἐπ᾽ ὀνόματι τῆς θεοφόρου
τετιμημένον Ὀδιλίας·
δεῦτε τῷ τιμίῳ αὐτῆς τάφῳ προσπέσωμεν
ἁγιασμὸν ἀρυόμενοι·

δεῦτε τῇ πηγῇ ἐκείνης προσδράμωμεν
καὶ τοῦ ἐκεῖθεν ἀναβλύζοντος ὕδατος
ἐν εὐλαβείᾳ πολλῇ μεταλάβωμεν·
δεῦτε πάντες ἐμφορηθῶμεν
τῶν τῆς μακαρίας παρθένου δωρημάτων
ἐν κατανύξει κραυγάζοντες·
Ταῖς τῆς σῆς Ὁσίας πρεσβείαις, Ζωοδότα,
φώτισον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Φῶς ἱλαρόν... καὶ αἱ συνήθεις αἰτήσεις.

Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Πόνοις ἀσκητικοῖς
καὶ οἰκτιρμοῖς πενήτων
εὐάρεστος ἐγένου
Κυρίῳ, Ὀδιλία,
παρθένων ἐγκαλλώπισμα.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Ῥώννυσιν ὀφθαλμοὺς
τὸ ὕδωρ τῆς πηγῆς σου
ἣ ἐκ τοῦ βράχου, Μῆτερ,
ἀνέβλυσεν σῇ ῥάβδῳ
εὐθὺς ὡς τοῦτον ἔπληξας.

Στίχ. Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλούς.

Χάριν παρὰ Θεοῦ
πλουτίσασα θαυμάτων
μὴ παύσῃ, Ὀδιλία,
ἡμῖν θαυματουργοῦσα
τοῖς πόθῳ σὲ γεραίρουσι.

Δόξα. Τριαδικόν. Ὅμοιον.

Φώτισον τῆς ψυχῆς
τὰ ὄμματα σῶν δούλων,
Τριὰς Ὑπεραγία
καὶ μία θεαρχία
πρεσβείαις τῆς Ὁσίας σου.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Σκέπη σου τῇ σεπτῇ
προστρέχοντες, Παρθένε,
αἰτούμεθα ῥυσθῆναι
τῶν τοῦ ἐχθροῦ παγίδων,
Θεογεννῆτορ Δέσποινα.

Τό, Νῦν ἀπολύεις... Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ. Καὶ Ἀπόλυσις.

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τὸν Προοιμιακόν, τό· Μακάριος ἀνήρ. Εἰς δὲ τό· Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν τὰ παρόντα στιχηρὰ προσόμοια τῆς Ὁσίας.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Δεῦτε εὐφραινόμενοι
τὴν τῆς Ὁσίας πανήγυριν
ἑορτάσωμεν σήμερον
Θεῷ τῷ δοξάσαντι
ταύτην χαρμοσύνως
μέλποντες τὸν αἶνον
τῷ δωρουμένῳ δι᾽ αὐτῆς
τοῖς τρυχομένοις ποικίλοις πάθεσιν
ἰάματα καὶ νέμοντος
ἁμαρτημάτων συγχώρησιν
Ὀδιλίας δεήσεσιν
τοῖς αὐτὴν μακαρίζουσι.

Κτείνειν σε ἠθέλησεν
ὅτε τυφλήν σε ἑώρακεν
γεννηθεῖσαν, ἀοίδιμε,
πατήρ σου ὁ ἄθλιος·
ἀλλὰ σοῦ ἡ μήτηρ
τῇ τροφῷ ἐκδοῦσα
εἰς τοῦ Βαλσάμου τὴν μονὴν
οἷα φιλόστοργος ἐφυγάδευσεν·
ἐν ᾗ ὁσίως, πάνσεμνε,
καὶ ἐναρέτως βιώσασα

τῷ Σωτῆρι νενύμφευσαι
διὰ πόνων ἀσκήσεως.

Ἄνωθεν ἡ κλῆσίς σου
οὐκ ἀπ᾽ ἀνθρώπων ἐγένετο,
Ὀδιλία θεόληπτε·
καθ᾽ ὕπνους γὰρ ἔλαβε
ἐντολὴν Ἐρχάρδος
ὁ τῆς Ῥατισβόνης
σὲ ἀνευρεῖν καὶ τοῦ λουτροῦ
τοῦ σωτηρίου καταξιῶσαί σε
καὶ ὅτε σε τῷ χρίσματι
ἔχρισεν τότε ἀνοίχθησαν
ὀφθαλμοί σου καὶ ἅπαντες
τὸν Θεὸν ἐμεγάλυνον.

Δόξαν τὴν ἐπίγειον
καὶ τὴν τρυφὴν τὴν ἐπίκηρον,
Ὀδιλία, μισήσασα
Χριστοῦ ἐπεπόθησας
τὴν πτωχείαν, Μῆτερ·
ὅθεν Χοχενβούργην
πείθεις σοι δοῦναι εἰς μονὴν
τὸν σὸν πατέρα καὶ ταύτην ἔδειξας
ψυχῶν λιμένα ἄκλυστον
καὶ ἀσφαλὲς καταφύγιον
καὶ ἱδρῶσι τιμίοις σου
ἀληθῶς καθηγίασας.

Πέτρος ὁ Ἀπόστολος
ἐπιφανεὶς ὃ ἀνήγειρας
ἐγκαινίσας ηὐλόγησεν
σεπτὸν παρεκκλήσιον
τῷ Χριστοῦ Προδρόμῳ·
λεπρὸς δὲ ὁ τάλας
ὅτε αὐτῷ ὑπομονὴν
ἢ θεραπείαν ηὔξω λελύτρωται
καὶ πλείστοις ἄλλοις θαύμασιν
ὁ Παντοκράτωρ ἐδήλωσεν
παῤῥησίαν ἣν εὕρηκας
παρ᾽ αὐτῷ, ἀξιάγαστε.

Τάφῳ τῷ τιμίῳ σου
γονυκλινῶς οἱ προσπίπτοντες,
Ὀδιλία πανθαύμαστε,
πιστῶς σου δεόμενοι
πόνων ἀφορήτων,
νόσων δυσιάτων
καὶ πολυπλόκων πειρασμῶν
εὐχαριστοῦσι Θεῷ σωζόμενοι·
ἴᾶσαι δὲ τὰ ὄμματα
τῶν εὐλαβῶς ἀνυμνούντων σε
οὐρανόθεν ἐξαίρετον
πρὸς αὐτὸ σχοῦσα δύναμιν.

Δόξα. Ἦχος πλ. β′.

Ἀσκητριῶν τὴν καλλονὴν
καὶ τῶν Παρθένων κλέος,
τὸ σκεῦος τῶν χαρίτων
καὶ τοῦ Χριστοῦ νύμφην θείαν καὶ πάγκαλον
συνελθόντες οἱ φιλέορτοι
μελῳδικοῖς ἐγκωμίοις
τιμήσωμεν ψάλλοντες·
Χαίροις, ἡ παιδιόθεν Θεῷ
τῷ πάντων ποιητῇ
σαὐτὴν καθιερώσασα.
Χαίροις, νοσούντων ἐπίσκεψις,
πτωχῶν ἡ περίθαλψις,
Ὀδιλία ἰσάγγελε.
Χαίροις, τῆς Ἀλσατίας ἁπάσης προστασία
καὶ τῶν ἀσθενούντων ὀμμάτων ἰατρεία.
Καὶ νῦν, Ὁσία πανένδοξε,
μὴ παύσῃ πρεσβείαν ποιοῦσα ἀεὶ
πλημμελημάτων συγγνώμην διδόναι ἡμῖν
τοῖς γεραίρουσι
τὴν χαρμόσυνον μνήμην σου.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός (ἐκ τοῦ Μηναίου).

Σπήλαιον εὐτρεπίζου·
ἡ ἀμνὰς γὰρ ἥκει
ἔμβρυον φέρουσα Χριστόν·
φάτνη δὲ ὑποδέχου
τὸν τῷ λόγῳ λύσαντα
τῆς ἀλόγου πράξεως

ἡμᾶς τοὺς γηγενεῖς·
ποιμένες ἀγραυλοῦντες
μαρτυρεῖτε θαῦμα τὸ φρικτὸν
καὶ μάγοι ἐκ Περσίδος
χρυσὸν καὶ λίβανον καὶ σμύρναν
τῷ Βασιλεῖ προσάξατε·
ὅτι ὤφθη Κύριος
ἐκ Παρθένου Μητρός,
ὅνπερ καὶ κύψασα δουλικῶς
ἡ Μήτηρ προσεκύνησε
καὶ προσεφθέγξατο
τῷ ἐν ἀγκάλαις αὐτῆς·
πῶς ἐνεσπάρης μοι
ἢ πῶς μοι ἐνεφύης
ὁ Λυτρωτής μου καὶ Θεός;

Εἴσοδος, **Φῶς ἱλαρόν**, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα

## Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα. (κεφ. μβ´ 5-25)

Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ πήξας αὐτόν, ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν· ἐγὼ Κύριος ὁ Θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ καὶ κρατήσω τῆς χειρός σου καὶ ἐνισχύσω σε καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει· ἐγὼ Κύριος ὁ Θεός, τοῦτό μού ἐστι τὸ ὄνομα· τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς· τὰ ἀπ' ἀρχῆς ἰδοὺ ἥκασι, καὶ καινά, ἃ ἐγὼ ἀναγγέλλω, καὶ πρὸ τοῦ ἀναγγεῖλαι ἐδηλώθη ὑμῖν. Ὑμνήσατε τῷ Κυρίῳ ὕμνον καινόν, ἡ ἀρχὴ αὐτοῦ· δοξάζετε τὸ ὄνομα αὐτοῦ ἀπ' ἄκρου τῆς γῆς, οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν καὶ πλέοντες αὐτήν, αἱ νῆσοι καὶ οἱ κατοικοῦντες αὐτάς· εὐφράνθητι, ἔρημος, καὶ αἱ κῶμαι αὐτῆς, ἐπαύλεις καὶ οἱ κατοικοῦντες Κηδάρ· εὐφρανθήσονται οἱ κατοικοῦντες Πέτραν, ἀπ' ἄκρων τῶν ὀρέων βοήσουσι· δώσουσι τῷ Θεῷ δόξαν, τὰς ἀρετὰς αὐτοῦ ἐν ταῖς νήσοις ἀναγγελοῦσι. Κύριος ὁ Θεὸς τῶν δυνάμεων ἐξελεύσεται καὶ συντρίψει πόλεμον, ἐπεγερεῖ ζῆλον καὶ βοήσεται ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ μετὰ ἰσχύος· ἐσιώπησα, μὴ καὶ ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι; ὡς ἡ τίκτουσα ἐκαρτέρησα, ἐκστήσω καὶ ξηρανῶ ἅμα· ἐρημώσω ὄρη καὶ βουνοὺς καὶ πάντα χόρτον αὐτῶν ξηρανῶ, καὶ θήσω ποταμοὺς εἰς νήσους καὶ ἕλη ξηρανῶ. Καὶ ἄξω τυφλοὺς ἐν ὁδῷ, ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους ἃς οὐκ ᾔδεισαν, πατῆσαι ποιήσω αὐτούς· ποιήσω αὐτοῖς τὸ σκότος εἰς φῶς καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν· ταῦτα τὰ ρήματα ποιήσω καὶ οὐκ ἐγκαταλείψω αὐτούς. Αὐτοὶ δὲ ἀπεστράφησαν εἰς τὰ ὀπίσω· αἰσχύνθητε αἰσχύνην, οἱ πεποιθότες ἐπὶ τοῖς γλυπτοῖς, οἱ λέγοντες τοῖς χωνευτοῖς· ὑμεῖς ἐστε θεοὶ ἡμῶν. Οἱ κωφοί, ἀκούσατε, καὶ οἱ τυφλοί, ἀναβλέψατε ἰδεῖν. Καὶ τίς τυφλός, ἀλλ' ἢ οἱ παῖδές μου καὶ κωφοί, ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν; καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ Θεοῦ· εἴδετε πλεονάκις, καὶ οὐκ ἐφυλάξασθε· ἠνοιγμένα τὰ ὦτα, καὶ οὐκ

ἠκούσατε. Κύριος ὁ Θεὸς ἐβουλεύσατο, ἵνα δικαιωθῇ καὶ μεγαλύνῃ αἴνεσιν· καὶ εἶδον, καὶ ἐγένετο ὁ λαὸς πεπρονομευμένος καὶ διηρπασμένος· ἡ γὰρ παγὶς ἐν τοῖς ταμιείοις πανταχοῦ, καὶ ἐν οἴκοις ἅμα, ὅπου ἔκρυψαν αὐτούς· ἐγένοντο εἰς προνομήν, καὶ οὐκ ἦν ἐξαιρούμενος ἅρπαγμα, καὶ οὐκ ἦν ὁ λέγων· ἀπόδος. Τίς ἐν ὑμῖν, ὃς ἐνωτιεῖται ταῦτα; εἰσακούσατε εἰς τὰ ἐπερχόμενα. Τίς ἔδωκεν εἰς διαρπαγὴν Ἰακὼβ καὶ Ἰσραὴλ τοῖς προνομεύουσιν αὐτόν; οὐχὶ ὁ Θεός, ᾧ ἡμάρτοσαν αὐτῷ, καὶ οὐκ ἠβούλοντο ἐν ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι οὐδὲ ἀκούειν τοῦ νόμου αὐτοῦ; καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, καὶ κατίσχυσεν αὐτοὺς πόλεμος καὶ οἱ συμφλέγοντες αὐτοὺς κύκλῳ, καὶ οὐκ ἔγνωσαν ἕκαστος οὐδὲ ἔθεντο ἐπὶ ψυχήν.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα (κεφ. ιθ´ 16-25).

Ὃς φυλάσσει ἐντολήν, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν, ὁ δὲ καταφρονῶν τῶν ἑαυτοῦ ὁδῶν ἀπολεῖται. Δανείζει Θεῷ ὁ ἐλεῶν πτωχόν, κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδώσει αὐτῷ. Παίδευε υἱόν σου, οὕτως γὰρ ἔσται εὔελπις, εἰς δὲ ὕβριν μὴ ἐπαίρου τῇ ψυχῇ σου. Κακόφρων ἀνὴρ πολλὰ ζημιωθήσεται· ἐὰν δὲ λοιμεύηται, καὶ τὴν ψυχὴν αὐτοῦ προσθήσει· ἄκουε, υἱέ, παιδείαν πατρός σου, ἵνα σοφὸς γένῃ ἐπ' ἐσχάτων σου. Πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρός, ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει. Καρπὸς ἀνδρὶ ἐλεημοσύνη, κρείσσων δὲ πτωχὸς δίκαιος ἢ πλούσιος ψεύστης. Φόβος Κυρίου εἰς ζωὴν ἀνδρί, ὁ δὲ ἄφοβος αὐλισθήσεται ἐν τόποις, οὗ οὐκ ἐπισκοπεῖται γνῶσις· ὁ ἐγκρύπτων εἰς τὸν κόλπον αὐτοῦ χεῖρας ἀδίκως, οὐδὲ τῷ στόματι οὐ μὴ προσαγάγῃ αὐτάς. Λοιμοῦ μαστιγουμένου, ἄφρων πανουργότερος γίνεται· ἐὰν δὲ ἐλέγχῃς ἄνδρα φρόνιμον, νοήσει αἴσθησιν.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (κεφ. δ´ 17-15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.

## Ἐν τῇ Λιτῇ. Ἰδιόμελα.

### Ἦχος α´.

Εὐφραίνου ἐν Κυρίῳ
πᾶσα ἡ Ἀλσατία
τὴν τῆς σῆς προστάτιδος μνήμην
Ὀδιλίας ἑορτάζουσα
καὶ τῷ τιμίῳ τάφῳ καὶ τῇ ἱερᾷ πηγῇ αὐτῆς
ἐν εὐλαβείᾳ προσερχομένη
τὴν εὐλογίαν ἐκείνης αἴτησαι·

τοῦ ἀΰλου γὰρ φωτὸς
τὰς ἐλλάμψεις δεξαμένη
τοῦ φωτὸς τὰ ἔργα ἐκφαίνει
πολιτείᾳ κρείττονι
καὶ συμπαθείᾳ ἀμέτρῳ·
ἰαμάτων δὲ δυνάμεσιν
θεόθεν δοξασθεῖσα
πολυειδῶς εὐεργετεῖ
κατὰ ψυχὴν καὶ σῶμα
τοὺς ἀδιστάκτως κραυγάζοντας·
Κύριε, δόξα σοι.

### Ἦχος β΄.

Ἀνὴρ θυμώδης ἀληθῶς καὶ ὀλιγόπιστος
ὁ σὸς γεννήτωρ πέλων
καὶ μὴ εἰδὼς τὰς Γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ
ὅτε τυφλὴ ἐγεννήθης
θανατοῦσθαί σε ἐκέλευσεν
τοῦ ἰδίου τέκνου μὴ φεισάμενος·
ἀλλὰ προφθάσασα ἡ σὴ ἀοίδιμος μήτηρ
τῆς ἐκείνου σε ὀργῆς ἠλευθέρωσεν
καὶ ἐν τῇ τοῦ μακαρίου Μαρτίνου Μονῇ
τῇ λεγομένῃ τοῦ Βαλσάμου
παιδιόθεν κατοικεῖν κατηξιώθης
σεαυτὴν πρὸς εὐσέβειαν γυμνάζουσα
καὶ νυμφευθεῖσα Χριστῷ
τῷ ἀθανάτῳ Νυμφίῳ·
ὃν ἐκδυσώπει σωθῆναι ἡμᾶς,
Ὀδιλία Ὁσία Μῆτερ
τοὺς χαρμοσύνως νῦν μέλποντας
τὴν πληθὺν τῶν θαυμασίων σου.

### Ἦχος γ΄.

Τὴν τῶν ὀφθαλμῶν σκοτίαν
ἀγογγύστως ἔτη δώδεκα ὑπομείνασα
διὰ τοῦ ἁγίου βαπτίσματος
θαυμαστῶς ἀνέβλεψας·
εὐχαριστοῦσα οὖν τῷ Θεῷ τῷ ἱκανώσαντί σε
εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτὶ
τοῖς ἐλαχίστοις τοῦ Κυρίου ἀδελφοῖς
μετὰ χαρᾶς διακονῆσαι ἐσπούδασας
τὸ ἀγαθὸν ἐργαζομένη πρὸς πάντας

μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως·
καὶ μοναζουσῶν τίμιον δῆμον συγκροτήσασα
ἡγουμένη αὐτῶν ἀνεδείχθης
τῷ οἰκείῳ παραδείγματι
τὴν σὴν συνοδείαν, Ὀδιλία,
ἐπιτελεῖν ἁγιωσύνην
ἐν πρᾳότητι παιδεύουσα·
μεθ’ ὧν καὶ ἡμᾶς τοὺς σὲ γεραίροντας
τὸν θεῖον δίδαξον φόβον
ἑνὶ ἑκάστῳ παρέχουσα
τὰ πρὸς σωτηρίαν αἰτήματα.

Ἦχος δ΄.

Τὶς ἐπαξίως ὑμνήσει
τῶν ἀσκητικῶν ἀγώνων σου τὰ τρόπαια,
Ὀδιλία ἀξιέπαινε;
νηστείαις γὰρ καὶ ἀγρυπνίαις
τὴν σάρκα μαράνασα
τὸν τῆς Εὔας πτερνιστὴν
ἀνδρικῶς ἐθριάμβευσας
καὶ ἐπαξίων βραβείων
ἀληθῶς κατηξιώθης.
Μεγάλη ὄντως ἡ δύναμις
τῆς σῆς πρὸς Χριστὸν μεσιτείας σου!
λεπρὸν γὰρ ἐκαθάρισας,
ὕδωρ ἐκ πέτρας ἀνίκμου πηγάσαι ἐποίησας
καὶ ὑπὲρ τοῦ σάρκα πατρός σου
ἀπολιπόντος αὐτοῦ τὸν βίον
μετὰ δακρύων οὐκ ἐπαύσω δεομένη
ὑπὲρ τῆς ἐκείνου ἀναπαύσεως
ἕως οὗ τῶν σῶν γονάτων τὰ ἴχνη
ἐπὶ τοῦ βράχου ἐσημειώθη.
Διὸ καὶ σήμερον ἐν τῇ πανσέπτῳ μνήμῃ σου
τῶν κεκοιμημένων μνημόνευσον χριστιανῶν
καὶ πρέσβευε σωθῆναι πάντας τοὺς τιμῶντάς σε
ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Δόξα. Ἦχος β΄.

Τῆς Ἀλσατίας τὸ θεῖον κλέος,
Ὀδιλία θαυματουργέ,
κατὰ τὸ ὄνομά σου
οὕτω καὶ ἡ πολιτεία σου·

ὄντως γὰρ πλουσία φερωνύμως ἀνεδείχθης
χερσὶ τῶν πενήτων τὸν σὸν πλοῦτον διανείμασα
καὶ πλοῦτον ἀρετῶν μὴ φθειρόμενον
ἐν οὐρανοῖς θησαυρίσασα·
ὅθεν λαμπαδηφόρος
ἐν τῷ νυμφῶνι τοῦ Λόγου
λαμπρῶς κατεσκήνωσας
καὶ τοῦ ἀδύτου φωτισμοῦ μετέσχες
ἀδιαλείπτως πρεσβεύουσα
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Δεῦτε ἅπαντες
Χριστοῦ τὰ γενέθλια
πιστῶς προεορτάσωμεν
καὶ νοητῶς τὸν ὕμνον
ὡς ἀστέρα προβαλλόμενοι
μαγικὰς δοξολογίας
μετὰ ποιμένων βοήσωμεν·
ἦλθεν ἡ σωτηρία τῶν βροτῶν
ἐκ παρθενικῆς νηδύος
πιστοὺς ἀνακαλέσασθαι.

Ἀπόστιχα Προσόμοια. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος!
ὑπομονὴν τῷ λεπρῷ
εὐξαμένη ἡ ἴασιν
τοῦτον ἠλευθέρωσας
τοῦ χρονίου νοσήματος
καὶ σῇ τιμίᾳ
ῥάβδῳ ὡς ἔπληξας
τὴν πέτραν ὕδωρ
εὐθὺς ἐπήγασεν·
ᾧ ῥαντιζόμενοι
πίστει ἐκλυτρούμεθα
τῶν ὀφθαλμῶν,
Ὀδιλία ἔνδοξε,
παντὸς νοσήματος.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Ὅτε ὁ καιρὸς ἐφέστηκεν
τῆς σῆς ἐξόδου Χριστὸς
ὁραθείς σοι, ἀείμνηστε,
τῆς μελλούσης ἔδειξεν
δόξης δεῖγμα καὶ ἄγγελος
ἐν ποτηρίῳ
Σῶμα τὸ τίμιον
καὶ αἷμα, Μῆτερ,
τὸ ἁγιώτατον
ἦλθε κομίζων σοι·
ὅπερ αἱ μονάστριαι
σοῦ ταῖς χερσίν,
Ὀδιλία, βλέπουσαι
Θεὸν ἐδόξαζον.

Στίχ. Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλούς.

Μῆτερ Ὀδιλία πάνσεμνε,
τὸν ἱερὸν Βαπτιστὴν
καὶ τὸν μέγαν Νικόλαον,
Πέτρον τὸν Ἀπόστολον
καὶ Ἐρχάρδον τὸν πάνσοφον
συμπρεσβευτάς σου
λαβοῦσα αἴτησαι
τὸν σὸν Νυμφίον
ἡμῖν δωρήσασθαι
βίου διόρθωσιν
καὶ πταισμάτων ἄφεσιν
τοῖς τὴν σεπτὴν
καὶ ἁγίαν μνήμην σου
πανηγυρίζουσι.

Δόξα. Ἦχος ὁ αὐτός.

Πάλαι μὲν ἐν Δαμασκῷ
εἶπεν ὁ Κύριος ἐν ὁράματι Ἀνανίᾳ τῷ ἐνδόξῳ
ζητῆσαι Παῦλον τὸ σκεῦος τῆς ἐκλογῆς
ἐπιθῆναι τε ἐκείνῳ χεῖρας
ὅπως ἀναβλέψῃ καὶ πλησθῇ Πνεύματος Ἁγίου.
Νῦν δὲ Ἐρχάρδῳ τῷ τῆς Ῥατισβόνης θεοφόρῳ ποιμένι
κατ᾽ ὄναρ ὁ Σωτὴρ ἐνετείλατο
ἵνα πορευθεὶς πρὸς κοράσιον τυφλὸν
βαπτίσῃ αὐτὸ καὶ ἀνοιχθήσονται αὐτοῦ οἱ ὀφθαλμοί.
Ὅτε δὲ σὺν Ἰδούλφῳ τῷ μακαρίῳ τὸ μυστήριον ἐτέλουν

Ὀδιλίαν τὴν νεάνιδα ἐκάλεσεν
καὶ τῷ ἁγίῳ χρίσματι χρίσας ἐκείνης τὰ ὄμματα
τῆς τυφλώσεως ἐῤῥύσατο·
ὁ γὰρ Χριστὸς χθὲς καὶ σήμερον
ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας,
ὁ ἐν ἁγίοις θαυμαστὸς
καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Υπόδεξαι Βηθλεὲμ τὴν τοῦ Θεοῦ μητρόπολιν·
φῶς γὰρ τὸ ἄδυτον ἐπὶ σὲ γεννῆσαι ἥκει.
Ἄγγελοι θαυμάσατε ἐν οὐρανῷ
ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς·
μάγοι ἐκ περσίδος
τὸ τρισσόκλεον δῶρον προσκομίσατε·
ποιμένες ἀγραυλοῦντες
τὸν τρισάγιον ὕμνον μελωδήσατε.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν παντουργέτην.

Νῦν ἀπολύεις, Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Αλσατίας ἡ δόξα,
Χοχενβούργης τὸ καύχημα,
ὀφθαλμῶν πασχόντων ὑγεία
καὶ τυφλῶν ἡ ἀνάβλεψις,
νοσούντων καὶ πτωχῶν ἡ βοηθός,
σεμνῶν μοναζουσῶν ὁ στολισμός,
Ὀδιλία μακαρία, ὑπὲρ ἡμῶν
ἱκέτευε τῶν βοώντων·
Δόξα τῷ σὲ καλέσαντι Χριστῷ·
Δόξα τῷ σὲ στεφανώσαντι·
Δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Θεοτοκίον. Τοῦ Γαβριὴλ φθεγξαμένου σοι...

## ΑΠΟΛΥΣΙΣ

# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α′ Στιχολογίαν, Κάθισμα. Ἦχος α′. Τὸν τάφον σου Σωτήρ.

Εξέλαμψεν ἡμῖν
Ὀδιλίας ἡ μνήμη·
συνδράμωμεν αὐτῆς
τοὺς ἀγῶνας ὑμνῆσαι
δι᾿ ὧνπερ καταβέβληκεν
τὸν ἐχθρὸν τὸν ἀόρατον
καὶ τοῖς πένησιν
διακονοῦσα προθύμως
κατηξίωται
ὡς ἐλεήμων τοῦ θείου
ἐλέους, ἡ πάνσεμνος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Κυβέρνησον, ἁγνή,
τὴν ἀθλίαν ψυχήν μου
καὶ οἴκτειρον αὐτὴν
ὑπὸ πλήθους πταισμάτων
βυθῷ ὀλισθαίνουσαν
ἀπωλείας, πανάμωμε,
καὶ ἐν ὥρᾳ με
τῇ φοβερᾷ τοῦ θανάτου
σὺ ἐξάρπασον
κατηγορούντων δαιμόνων
καὶ πάσης κολάσεως.

Μετὰ τὴν β′ Στιχολογίαν, Κάθισμα. Ἦχος δ′. Ταχὺ προκατάλαβε.

Ενθέως ζηλώσασα
τὸν ἱερὸν Βαπτιστὴν
ναῷ αὐτῷ ἤγειρας
καὶ ἐμιμήσω αὐτοῦ
τὸν βίον τὸν ἄϋλον·
ὅθεν νῦν σὺν ἐκείνῳ,
Ὀδιλία Ὁσία,
πρέσβευε τῷ Κυρίῳ
πάσης ῥύεσθαι βλάβης

τοὺς πόθῳ ἑορτάζοντας,
Μῆτερ, τὴν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ταχὺ ἡμᾶς πρόφθασον,
Παρθενομῆτορ Ἁγνή·
ἐχθρῶν ἡμᾶς λύτρωσαι
τῶν βλασφημούντων εἰς σὲ
καὶ μὴ προσκυνούντων σε·
θραῦσον τὰς γλωσσαλγίας
τῶν αἱρέσεων πάσας·
γνώτωσαν ὅτι μόνη Θεομήτωρ ὑπάρχεις
πρεσβείαις σου Ὀρθοδόξων
τὸ σύστημα σῴζουσα.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τοῦ ἁγίου βαπτίσματος τῷ λουτρῷ
καὶ τοῦ μύρου τῇ χρίσει τοῦ ἱεροῦ
ψυχῆς τε καὶ σώματος
ἠνεώχθη σου ὄμματα
καὶ μυστικῶς ηὐγάσθης
φωτὶ τῆς θεώσεως
Χριστῷ συσταυρωθεῖσα
ἀσκήσεως σκάμμασιν·
ὅθεν ἰατρεύεις
ὀφθαλμῶν ἀῤῥωστίας
δυνάμει τοῦ Πνεύματος
καὶ διώκεις τοὺς δαίμονας,
Ὀδιλία ἰσάγγελε.
Πρέσβευε ἀεὶ ἐκτενῶς
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν,
τὸ πανάγιον ὄρος, τὴν φωταυγῆ
νεφέλην ὑμνήσωμεν τὴν οὐράνιον κλίμακα,
τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν,
τῆς οἰκουμένης πάσης τὸ μέγα κειμήλιον·
ὅτι σωτηρία ἐν αὐτῇ διεπράχθη
τῷ κόσμῳ καὶ λύτρωσις τῶν ἀρχαίων ἐγκλημάτων·
διὰ τοῦτο βοῶμεν αὐτῇ·

Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ
τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι
τοῖς εὐσεβῶς προσκυνοῦσι τὸν πανάγιον τόκον σου.

Τὸ α′ ἀντίφωνον τοῦ δ′ ἤχου. Ἐκ νεότητός μου...

Προκείμενον. Ἦχος δ′.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλούς.

Τό, Πᾶσα πνοή... τρίς.

Εὐαγγέλιον ζήτει τῷ Σαββάτῳ τῆς ιζ′ ἑβδομάδος Ματθαίου.

Ὁ Ν′ ψαλμός (χῦμα).

Δόξα. Ταῖς τῆς σῆς Ὁσίας... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Στιχ. Ἐλέησόν με ὁ Θεός... καὶ τὸ παρὸν ἰδιόμελον. Ἦχος β′.

Τῆς Ἀλσατίας τὸ θεῖον κλέος... (ὅρα εἰς τὴν Λιτήν).

Ὁ ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν λαόν σου... καὶ τὰ λοιπά, ὡς ἔθος.

Εἶτα ψάλλονται οἱ Κανόνες:

ὁ μικρὸς παρακλητικὸς κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ϛ′ καὶ τῆς Ὁσίας ὁ παρὼν εἰς η′, οὗ ἡ ἀκροστιχίς, ἐν τῇ ζ′, η′ καὶ θ′ ᾠδῇ· ΩΔΗ ΠΑΝΑΓΙΩΤΟΥ. Καταβασίας δὲ ψάλλομεν· Χριστὸς γεννᾶται.

Ὠδὴ α′. Ἦχος πλ. δ′. Ὑγρὰν διοδεύσας.

Τὰ ὄμματα φώτισον τῆς ἐμῆς
ψυχῆς, Ὀδιλία, ἀνυμνοῦντι χαρμονικῶς
τὴν σήν, μακαρία, πολιτείαν
καὶ τοῦ νοός μου τὴν ζόφωσιν δίωξον.

Τὴν στείρωσιν λύσας τῆς σῆς μητρὸς
καρπόν σε παρέχει εὐκλεέστατον κἂν τυφλὴν
ὁ σὲ ἐκλεξάμενος, Ὁσία,
νύμφην ἐκείνῳ ὡραίαν καὶ πάγκαλον.

Ὀργίλος ὑπάρχων ὁ σὸς πατὴρ
τυφλήν σε ὡς εἶδεν οὐκ ἠγάπησεν μηδαμῶς
καὶ κτεῖναί σε, οἴμοι, ἐβουλήθη·
οὗ τῆς κακίας ἡ μήτηρ σου ἔσωσεν.

Θεοτοκίον.

Νυμφὼν φωτοφόρος τῆς ὑπὲρ νοῦν
σαρκώσεως ὤφθης τοῦ τῶν ὅλων Δημιουργοῦ·
ἐκ σοῦ γὰρ τὴν σάρκα, Θεομῆτορ,
τὴν ἡμετέραν αὐτὸς ἠμφιάσατο.

'Ωδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἡ τροφῷ σε ἐκδοῦσα
τῆς πατρικῆς μήνιδος
ἡ σή, Ὀδιλία, λυτροῦται
μήτηρ ἡ ἔνθεος
καὶ εἰς Βαλσάμου μονὴν
ἐξ ἁπαλῶν σου ὀνύχων
ᾤκησας, ἀοίδιμε,
θείῳ βουλήματι.

Ἐπὶ δώδεκα ἔτη
τὴν τοῦ φωτὸς στέρησιν
ἐν μακροθυμίᾳ, Ὁσία,
φέρουσα πέφυκας
τοῦ πολυάθλου Ἰὼβ
τῆς θαυμαστῆς καρτερίας
ἀληθῶς συμμέτοχος,
ἀξιοθαύμαστε.

Ῥατισβόνης ποιμένι
ἐπιφανεὶς ἄγγελος
σὲ πρὸς τὸ βαπτίσαι ἐκπέμπει·
ὅτε δὲ μύρῳ σε
τῷ θείῳ ἔχρισεν
οἱ ὀφθαλμοί παραχρῆμα,
Ὀδιλία πάνσεμνε,
σοῦ ἠνεώχθησαν.

Θεοτοκίον.

Ἐπὶ σοί, Παναγία,
ὁ τοῦ παντὸς αἴτιος
δι' ὑπερβολὴν εὐσπλαγχνίας
θέλων ἐσκήνωσε
καὶ καθηγίασε
τὴν τῶν ἀνθρώπων οὐσίαν
παραβάσει πρότερον
ἐξολισθήσασαν.

### Αἴτησις καὶ τὸ Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Χαίρει ἔχουσα ἡ Ἀλσατία
σὲ βοήθειαν καὶ προστασίαν,
Ὀδιλία Ὁσία πανεύφημε,
καὶ τῷ τιμίῳ σου τάφῳ προστρέχουσα
τῶν ἰαμάτων λαμβάνει τὰς χάριτας·
ὅθεν πρέσβευε
Κυρίῳ τῷ σὲ δοξάσαντι
λυτρώσασθαι ἐκείνην τῶν αἱρέσεων.

### Δόξα. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Θρόνος πάγχρυσος τοῦ Βασιλέως
καὶ παράδεισος διηνθησμένος
ἀνεδείχθης, Θεοτόκε Πανάχραντε·
τὸν γὰρ Θεὸν ἐν γαστρί σου βαστάσασα
εὐωδιάζεις ἡμᾶς θείαις χάρισιν.
Ὅθεν ἅπαντες
Θεοῦ ἀληθῶς μητέρα σε
κηρύττομεν ἀεὶ καὶ μεγαλύνομεν.

### Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Κοσμικὴν ματαιότητα
οἷα ψυχοφθόρον σοφῶς μισήσασα
τῷ Χριστῷ κατηκολούθησας
καὶ ἐκείνου νύμφη ἐχρημάτισας.

Τὸν ὡραῖον ποθήσασα
κάλλει παρὰ πάντας βροτοὺς ὑπάρχοντα
Ἰησοῦν γηΐνους μνήστορας,
Ὀδιλία πάνσοφε, ἀπέῤῥιψας.

Τοῦ πατρός σου μετέβαλες
τὴν σκληροκαρδίαν εἰς ἠπιότητα,
Ὀδιλία καλλιπάρθενε,
ταῖς πρὸς τὸν Θεὸν θερμαῖς πρεσβείαις σου.

Θεοτοκίον.

Μετὰ τόκον διέμεινας
ἄφθορος, Παρθένε, ὡς πρὸ γεννήσεως·
νέον βρέφος γὰρ ἐκύησας
τὸν πρὸ τῶν αἰώνων γνωριζόμενον.

## Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ῥήγνυσι Χριστὸς
πέτραν ἵνα ἀποκρύψῃ σε
ὅτε ἔλιπες τὸν οἶκον σου ἀνδρὶ
τοῦ πατρός σου τοῦ συζεῦξαί σε θελήσαντος.

Βλέπων ἐκ Θεοῦ
τὴν σὴν κλῆσιν, ἀξιάγαστε,
ὁ πατήρ σου Χοχενβούργης εἰς μονήν,
Ὀδιλία, μετεποίησεν τὴν ἔπαλξιν.

Ἠθροισας χορὸν
ἱερῶν παρθένων μέγιστον
καὶ ἐκείνων ἡγουμένη τὴν ὁδὸν
τὴν στενὴν καὶ τεθλιμμένην, Μῆτερ, ὥδευσας.

Θεοτοκίον.

Μόνην γενεῶν
ἐκ πασῶν σε ἐξελέξατο
ἀναπλάττει δὲ ἡμᾶς ὁ Πλαστουργὸς
ἐν τῇ μήτρᾳ σου οἰκήσας, Ἀπειρόγαμε.

## Ὠδὴ ϛ΄. Τὴν δέησιν.

Ναὸν μὲν τῇ Θεοτόκῳ Παρθένῳ
καὶ τῷ ὅπλῳ τοῦ Σταυροῦ τῷ Τιμίῳ
ὁ σὸς πατὴρ ἀνεγείρει, θεόφρον·
σὺ δ᾽ ἐν ἐκείνοις σχολάζουσα δάκρυσι
τὴν γῆν κατέβρεχες τοῖς σοῖς
καὶ ᾠδὰς τῷ Κυρίῳ προσέφερες.

Προστάτην τὸν τοῦ Κυρίου Πρόδρομον
Ἰωάννην κεκτημένη τὸν μέγαν
ἤγειρας τούτῳ ναόν, ὅνπερ Πέτρος
ἐπιφανεὶς τοῦ Χριστοῦ ὁ Ἀπόστολος
σὺν στρατιαῖς ἀγγελικαῖς
μυστικῶς, Ὀδιλία, ηὐλόγησεν.

Ἠγάπησας τὸν Θεὸν ὁλοψύχως
καὶ τὸν σὸν πλησίον, Μῆτερ, ὁμοίως
καὶ τῶν πτωχῶν ταῖς χερσὶ τὸν σὸν πλοῦτον
μετὰ χαρᾶς, Ὀδιλία, ἐσκόρπισας
διακονήσασα καλῶς

τῶν νοσούντων ταῖς χρείαις, πανόλβιε.

Θεοτοκίον.

Μαρία, τὸ τοῦ Δεσπότου σκήνωμα
τὸ λαμπραῖς τῆς παρθενίας ἀκτῖσι
φωτοειδῶς ὥσπερ κρῖνον ἐκλάμψαν
τῆς ἀκανθώδους ἐν μέσῳ συγχύσεως
σοῦ δέομαι τῆς ἀγαθῆς·
τῶν πταισμάτων παράσχου μοι ἄφεσιν.

Αἴτησις καὶ τὸ Κοντάκιον. Ἦχος γʹ. Ἡ Παρθένος σήμερον.

Τῆς ψυχῆς τὰ ὄμματα
πεπηρωμένος, Ὁσία,
καὶ ἀλγῶν τοῦ σώματος
τοὺς ὀφθαλμούς, Ὀδιλία,
πίστει σου τῇ ζωηῤῥύτῳ πηγῇ προστρέχω
ἴασιν λαβεῖν κατ᾿ ἄμφω, Μῆτερ, ἐλπίζων·
σὺ γὰρ χάριν ἰαμάτων
ὁ Φωτοδότης
Χριστὸς ἐδωρήσατο.

Ὁ Οἶκος.

Ἵνα τὰ ἔργα τοῦ Θεοῦ
ἐν σοὶ φανερωθῇ
τυφλὴ προῆλθες ἐκ γαστρὸς
μητρός σου, Ὀδιλία·
τῷ δὲ Ἐρχάρδῳ τῷ κλεινῷ
ποιμένι Ῥατισβόνης
τὰ περὶ σοῦ μεμύνηται κατ᾿ ὄναρ οὐρανόθεν·
ἔνθεν σὺν Ἰδούλφω τῷ Τρεβήρων ἀνευρών σε
καὶ ἐξ ὕδατος καὶ πνεύματος ἀναγεννήσας
μύρῳ τοὺς σοὺς ὀφθαλμοὺς ἔχρισε
καὶ παραδόξως ἀνέβλεψας·
διὸ καὶ τῷ σὲ σώσαντι καὶ καλέσαντι κλήσει ἁγίᾳ
προθύμως ἠκολούθησας
τὸν πλοῦτον καὶ τὴν δόξαν ὡς σκύβαλα λογισαμένη·
καὶ μονὴν ἱερὰν συγκροτήσασα
καὶ ξενῶνα ἀνεγείρασα
ὡς ἡ ἐν Ἰόππῃ Δορκὰς
πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ἀνεδείχθης·
ὅθεν σοι τὸ στέφος τῆς ἀφθαρσίας
καὶ τὴν χάριν τῶν ἰαμάτων

ὁ Φωτοδότης
Χριστὸς ἐδωρήσατο.

Καὶ ἀναγινώσκομεν τὸ συναξάριον τῆς ἡμέρας ἐκ τοῦ Μηναίου. Εἶτα λέγομεν·

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμην ἐπιτελοῦμεν τῆς Ὁσίας καὶ θεοφόρου Μητρὸς ἡμῶν Ὀδιλίας, ἡγουμένης τῆς Χοχενβούργης, τῆς θαυματουργοῦ.

Στίχοι.

Η πρῴην τυφλὴ ὀμμάτων τὰς ὀδύνας

τῇ θείᾳ ῥοπῇ ἰᾶται Ὀδιλία.

Ταῖς αὐτῆς καὶ πάντων σου τῶν ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ´. Παῖδες Ἑβραίων.

Ὡς ἐλεήμων, Ὀδιλία,
κατηξίωσαι μακαρισμοῦ θεόθεν·
τῶν γὰρ ξένων τροφὸς
καὶ καταπονουμένων
παρηγορία πέφυκας
καὶ παράκλησις πενθούντων.

Δέρμα τῆς ἄρκου ὡς στρωμνήν σου,
Μῆτερ, ἔχουσα ἐσταύρωσας τὴν σάρκα
ἐν νηστείαις πολλαῖς
καὶ ἀγρυπνίαις πάθη
νεκροῦσα τὰ ὀλέθρια,
Ὀδιλία γενναιόφρον.

Ἐν Νικολάῳ τῷ Μυρέων
καθιέρωσας Κάτω Μονήν, Ὁσία,
θλιβομένων ψυχῶν
ἀνέδειξας λιμένα
καὶ εὐποιΐας γέγονας
στήλη ἔμπνους, Ὀδιλία.

Θεοτοκίον.

Πάναγνε Δέσποινα Παρθένε,
τῶν πταισμάτων μου
τοὺς μώλωπας ἐλαίῳ
συμπαθείας τῆς σῆς
θεράπευσον βοῶντος·

Εὐλογημένος, Ἄχραντε,
ὁ καρπὸς τῆς σῆς κοιλίας.

## Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ἀγκαλισθεῖσα σὺ τὸν λεπρόν, Ὀδιλία,
καὶ ὑπομονὴν ἢ θεραπείαν
τούτῳ εὐξαμένη ἐκεῖνον καθαρίζεις.

Νύξασα βράχον ῥάβδῳ τῇ σῇ, Ὀδιλία,
ἔδειξας πηγὴν αὐτὸν ὑδάτων
ὧν οἱ μετασχόντες πολλῶν λυτροῦνται νόσων.

Ἄγγελος ἦλθε ἀπ᾽ οὐρανοῦ σοι κομίζων
τοῦ Χριστοῦ τὸ Σῶμα καὶ τὸ Αἷμα
ἐν τῆς σῆς ἐξόδου τῇ ὥρᾳ, Ὀδιλία.

Θεοτοκίον.

Γαλήνην δίδου τῇ παναθλίᾳ ψυχῇ μου,
Κεχαριτωμένη Θεοτόκε,
καὶ πρὸς σωτηρίας λιμένα ἴθυνόν με.

## Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἰδεῖν κατηξιώθης πρὸ τῆς τελευτῆς σου
τῆς οὐρανίου χαρᾶς τὴν λαμπρότητα
Χριστῷ ἀσκήσει συντόνῳ εὐαρεστήσασα.

Ὡς θήκη ἀρωμάτων λάρναξ ἡ τιμία
τοῦ σεβασμίου λειψάνου σου πέφυκε
ὃ θαυμαστῇ εὐωδίᾳ Θεὸς ἐτίμησεν.

Τοὺς πόνους τῶν ὀμμάτων παύεις, Ὀδιλία,
παρὰ Κυρίου, Ὁσία, ἐξαίρετον
πρὸς τοῦτο δύναμιν σχοῦσα τοῦ σὲ δοξάσαντος.

Ὁσία Ὀδιλία, Ἀλσατίας δόξα,
ἀντιλαβοῦ μου τοῦ σὲ ἀνυμνήσαντος
καὶ μετανοίας τῷ φέγγει τὸν νοῦν μου φώτισον.

Θεοτοκίον.

Ὑπέραγνε Μαρία, Μῆτερ τοῦ Ὑψίστου,
τὴν ῥυπωθεῖσαν καρδίαν μου κάθαρον
καὶ πειρασμῶν πολυπλόκων ῥῦσαί με δέομαι.

### Ἐξαποστειλάριον. Ἦχος γʹ. Ἐν Πνεύματι τῷ ἱερῷ.

Τοὺς νοερούς μου ὀφθαλμούς,
Ὀδιλία Ὁσία,
ἐσκότισμαι ὁ ἄθλιος
ἁμαρτίαις δουλεύσας·
διὸ πιστῶς καταφεύγω
πρεσβειῶν τῇ σκέπῃ σου
κραυγάζων· δός μοι ὑγείαν
τῶν ὀμμάτων τῆς ψυχῆς
καὶ τοῦ σώματος, σεμνή,
ἵνα σε πόθῳ γεραίρω.

### Θεοτοκίον. Ὅμοιον.

Ἐλπὶς τοῦ κόσμου ἀγαθή,
Θεοτόκε Παρθένε,
τὴν σὴν ἄμαχον, Δέσποινα,
προστασίαν αἰτοῦμεν
οἱ θλίψεσι συσχεθέντες
καὶ κλυδωνιζόμενοι
τοῦ βίου ταῖς τρικυμίαις·
στῆσον αὔρας τῶν παθῶν
καὶ λιμένα εἰς Θεοῦ
ἐμβίβασον θελημάτων.

### Εἰς τοὺς Αἴνους

### Ἱστῶμεν στίχους δʹ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τῆς Ὁσίας.

### Ἦχος αʹ. Τῶν οὐρανίων ταγμάτων.

Τῆς Ὀδιλίας τὴν μνήμην
δεῦτε τιμήσωμεν
ἐν ὕμνοις χαρμοσύνοις
Ὀρθοδόξων οἱ δῆμοι·
αὕτη γὰρ ὁσίως καὶ εὐσεβῶς
τῷ Κυρίῳ λατρεύσασα
Μοναζουσῶν ὤφθη καύχημα ἱερὸν
καὶ παρθένων ἐγκαλλώπισμα.

Τῷ Ῥατισβόνης ποιμένι
Ἐρχάρδῳ Κύριος
καλέσαι Ὀδιλίαν
σὲ κελεύει κατ’ ὄναρ·
ὅθεν σὺν Ἰδούλφῳ τῷ ἱερῷ
ἐν χαρᾷ παραγέγονεν

ἐν τῇ Μονῇ τοῦ Βαλσάμου καὶ σὲ λουτρῷ
τοῦ βαπτίσματος ἐφώτισεν.

Τρία ἐφύτευσας δένδρα
εἰς τύπον, πάνσεμνε,
Τριάδος τῆς Ἁγίας
καὶ πενήτων ἐδείχθης
ξένων, δυστυχούντων καὶ ἀσθενῶν
ἀληθῶς παραμύθιον·
ὅθεν μισθὸν πολὺν εὗρες ἐν οὐρανοῖς,
Ὀδιλία ἀγγελότροπε.

Τῆς Ἀλσατίας προστάτις
καὶ καταφύγιον
ἐν πάσῃ δυσχερείᾳ,
Ὀδιλία, ἐδείχθης
καὶ πάντων τῶν τῷ τάφῳ σου τῷ σεπτῷ
προσιόντων ἀντίληψις
καὶ ὀφθαλμῶν τῶν σωμάτων καὶ τῶν ψυχῶν
ἰατρεία θεοδώρητος.

Δόξα. Ἦχος πλ. α΄.

Τὸν τῆς ἀσκήσεως δρόμον
θεαρέστως τελέσασαν
τὸν Ἁγίοις πρέποντα ὕπνον
ἐν εἰρήνῃ κοιμηθῆναί σε ἔδει,
Ὀδιλία μακαρία·
ὅθεν μικρὸν πρὸ τῆς σῆς ἐξόδου
πρόγευσίν σοι ἔδωκε
τῆς ἀφάτου χαρμονῆς τοῦ οὐρανοῦ
μυστικῶς ἐπιφανεὶς
ὁ οὐράνιος Νυμφίος σου·
οὗ ἐν ποτηρίῳ τὸ τίμιον σῶμα
καὶ τὸ αἷμα τὸ ζωοποιὸν
οὐρανόθεν ἀποσταλεὶς
ἄγγελος Κυρίου προσήνεγκέ σοι
εἰς μαρτύριον τῆς δόξης
ἧς ἐπαξίως τετύχηκας·
διὸ καὶ ἡμῖν βοήθησον
τοῖς ἀδιστάκτως προσκαλουμένοις σε
ἐν τῇ φοβερᾷ ὥρᾳ τοῦ θανάτου
ταῖς εὐπροσδέκτοις μεσιτείαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,
καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος
τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον,
τὴν ἀρραγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙᾼ

Τυπικὰ καὶ ἐκ τοῦ κανόνος τῆς Ὁσίας ᾠδὴ γ΄ καὶ ς΄.

Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος βαρύς.

Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Καθολικῆς Β΄ Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

Συμεὼν Πέτρος, δοῦλος καὶ ἀπόστολος Ἰησοῦ Χριστοῦ...

(ζήτει τῇ Πέμπτῃ τῆς λγ΄ ἑβδομάδος).

Ἀλληλούϊα. Ἦχος α΄. (Ψαλμὸς λθ΄).
Στιχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Εὐαγγέλιον ζήτει τῇ Κυριακῇ τῆς Ἀπόκρεω.

Μεγαλυνάριον.

Θαύματα πηγάζουσα τοῖς πιστοῖς
ψυχῶν καὶ σωμάτων θεραπεύεις τοὺς ὀφθαλμούς,
Μῆτερ Ὀδιλία, Χριστοῦ Ὁσία νύμφη·
διό σε ἀνυμνοῦμεν καὶ μεγαλύνομεν.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

# ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ